Veterum scriptorum de Demosthene iudicia.

Collegit et disposuit Gustavus Simchen, Dr. phil.

Pars prima. Sermonis virtutes et vitia.

A. Testimonia scriptorum Graecorum.

ἀγάλματα: **1.** Callistratus II, p. 424, 4 *K.*: *ὁ δὲ τὰ ἐν λόγοις διαπλάττων Δημοσθένης ἀγάλματα μικροῦ καὶ λόγων ἔδειξεν εἶδος αἰσθητὸν τοῖς νοῦ καὶ φρονήσεως γεννήμασι συγκεραννὺς τὰ τῆς τέχνης φάρμακα.* — v. 218. 219.

ἀγεννὲς πλάσμα: v. 123.

ἀγκύλον: v. 182.

ἀγχίνοια: v. 51.

ἀγωνιστικόν: v. 211.

ἀδιάχυτος: **2.** *περὶ ὕψ.* 34, 3: *ὁ δὲ Δημοσθένης ἀνηθοποίητος, ἀδιάχυτος, ἥκιστα ὑγρὸς ἢ ἐπιδεικτικός.*

ἀηδία: **3.** Dion. Hal. Dem. c. 57: *τὸ δὲ φάσκειν φορτικοῖς καὶ ἀηδέσι τοῖς ὀνόμασι αὐτὸν κεχρῆσθαι πόθεν ἐπῆλθεν αὐτῷ [λέγειν], ὑπὲρ πάντα ἔγωγε τεθαύμακα. οὐδὲν γὰρ εὑρίσκω τούτων παρὰ Δημοσθένει κείμενον, ὧν εἰρηκέναι φησὶν αὐτὸν Αἰσχίνης* (III, 166), *οἷον ὅτι . . .* (sequuntur exempla), *οἷς αὐτὸς ἐπιτίθησι διακωμῳδῶν „ταῦτα δέ, ὦ κίναδος, τί ἔστι; ῥήματα ἢ θαύματα“; οὐδέ γε ἄλλα τινὰ φορτικὰ καὶ ἀηδῆ ὀνόματα ἐν οὐδενὶ τῶν Δημοσθένους λόγων εὑρεῖν δεδύνημαι καὶ ταῦτα πέντε ἢ ἓξ μυριάδας στίχων ἐκείνου τοῦ ἀνδρὸς καταλελοιπότος.* — v. 167. 193. 215.

ἀκολουθία: **4.** [Dion. Hal.] *τέχν. ῥητ.* X, 6: *τοῦτον δὲ τὸν ἔλεγχον τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν* (cf. Plato Phaedr. p. 264 *c*) *μόνος Δημοσθένης ἐξέφυγεν κατὰ μίμησιν τὴν Πλάτωνος.*

ἀκρίβεια: **5.** [Plutarchus] Vit. X orat. 8, 69: *ἱστοροῦσι δ' ὡς οὐδὲ λύχνον ἔσβεσεν ἄχρι πεντήκοντα ἐτῶν ἐγένετο, διακριβῶν τοὺς λόγους.* — v. 35. 36. 91. 103. 113.

ἀλήθεια: v. 112. 142.

ἄμαχος: v. 38.

ἀμελέτητον: v. 34. 35.

ἀναβεβλημέναι ἁρμονίαι: v. 143.

Veterum scriptorum quae de Demosthene exstant testimoniis et iudiciis colligendis ut operam darem, auctor mihi fuit Henricus Schenkl magister summo opere colendus, qui me hortatus est, ut tamquam sincerus rerum gestarum pronuntiator sine ullo captandi persuadendive studio omnes quotquot huc spectant locos congererem congestosque ita disponerem, ut futurae disquisitionis et fundamentum iacerem firmum et instrumentum pararem utile. Cui obsecutus magno labore — haud frustra, ut spero impenso — largissimam copiam undique coacervavi, cuius particulam ut specimen iam viris doctis propono. Ampliore praefatione nunc supersedendum esse censui ex iis ipsis quae posui satis manifestum fore ratus, quam rationem inierim. Narrationes maximam partem fabulosas, quae ad vitam non ad artem oratoris spectant, quod hoc loco non respexi, non est cur pluribus defendam.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἀνδρώδης ῥυθμός: v. 187.

ἀνειμένη (φράσις, διάλεκτος): v. 17. 142.

ἀνακεφαλαίωσις: **6.** [Anonymi vel Cornuti] *τέχν. ῥητ.* c. 236: *Δημοσθένης καὶ ἀνεκεφαλαιώσατο ἐν μέσῳ καὶ τὰς δεινωτικὰς ὕλας παρέσπειρεν ἑκάστῳ κεφαλαίῳ· ἅπερ ἐστὶ τοῦ ἐπιλόγου.*

ἄνεσις: **7.** Dion. Hal. Dem. c. 13: *ἐπιτάσεις μέντοι καὶ ἀνέσεις λαμβάνει τινὰς ἀναλόγους.*

ἀνηθοποίητος: v. 2.

ἀντίθεσις (ἀντίθετον): **8.** Ulpianus Prol. p. 1 Dind.: *πλείστην δοκοῦσιν ὁμοιότητα σῴζειν οἱ Φιλιππικοὶ λόγοι πρὸς τὰς τοῦ Θουκυδίδου δημηγορίας· οὐ γὰρ μόνον τὰ κεφάλαια ἴδοι τις ἂν ἐν τοῖς λόγοις συμπεπλεγμένα ὥσπερ ἐν ἐκείναις καὶ τὰς ἀντιθέσεις οὕτω μετακεχειρισμένας, ἀλλὰ καὶ πολλὰ τῶν νοημάτων παραπεφρασμένα.* — v. 100. — **9.** Aeschines II, 4: *ἐφοβήθην μὲν γὰρ καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοηθέσι τούτοις ἀντιθέτοις.* — **10.** Aesch. III, 83: *Ἀλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσιν, περὶ συλλαβῶν διαφερόμενος.* Repetit Athenaeus VI, 223 *d.* — **11.** Plut. Dem. c. 9: *τῶν δὲ κωμικῶν . . . ὁ δὲ παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ φησὶν οὕτως·*

„ἀπέλαβεν, ὥσπερ ἔλαβεν.“ „ἠγάπησεν ἂν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.“

(Kock, Fragm. Com. II, 1, 80; fr. 169.)

ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἀλοννήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου, περὶ συλλαβῶν διαλεγόμενος. — **12.** Athenaeus VI, 223 *e*: *ὅπερ Ἀντιφάνης ἐν Νεοττίδι παιδιὰν θέμενος ἐρεσχηλεῖ τόνδε τὸν τρόπον· ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς ἀπέλαβεν κτλ.* (cf. 13.) — **13.** Alexander Aphrodis. in Aristot. Topica, p. 157, 21 Wall.: *οὕτω καὶ ὁ Δημοσθένης κατασκευάσαι βουληθεὶς ὅτι μὴ δεῖ χάριν ἔχειν Φιλίππῳ ὑπὲρ ὧν ἔδωκε, μετέλαβεν τὸ ἔδωκεν εἰς τὸ ἀπέδωκεν.* Repetit Suidas i. v. *ἐγκράτεια.* — **14.** *ἐκ τῶν Λογγίνου* I, p. 325 *Sp.* (p. 214 *H.*): *ὅτι Δημοσθένης δεινότατος ὢν ἐν ταῖς ἀντιθέσεσιν οὐκ ἀεὶ τῇ τέχνῃ ἐμμένει, ἀλλ' αὐτὸς γίνεται τέχνη πολλάκις. ὡσαύτως καὶ Ἀριστείδης.* — v. 65. 100.

ἀντιπαράστασις: **15.** Marcellinus, *σχολ. εἰς στασ.*, IV, p. 614 *W.*: *καλλίστη δὲ καὶ δριμυτάτη ἡ Δημοσθενικὴ μέθοδος· συμπλέξας γὰρ ὁ ῥήτωρ τῇ ἐνστάσει τὴν ἀντιπαράστασιν μείζω τῷ κεφαλαίῳ δέδωκε τὴν ἰσχύν.*

ἀξιωματικός: v. 127. 143. 187.

ἀπαγγελία: v. 50. 114.

ἀπαρτίζειν: v. 201.

ἀπέριττος: v. 119. 142.

ἀπονυστάζειν: **16.** Plut. Cic. c. 24: *καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν* (*ὑπον.* Herw.) *τὸν Δημοσθένη· τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατὰ Ἀντωνίου Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσιν.* — v. 242.

ἁρμονία: **17.** Libanius Argum. ad [Dem.] orat. VII de Halon. c. 2 (Caec. Cal. fr. 139 *Of.*): *ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δ' ἡ φράσις καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον, ἀνειμένη τε καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος.* — v. 33. 139. 143. 144. 188. 192. 218.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἀρχαιοπρεπής, ἀρχαῖος: v. 127. 200.

ἀσαφής: **18.** Dion. Hal. Lys. c. 4: τεκμαίρομαι δὲ, ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν ἡμῖν καὶ ἀσαφῆ καὶ δεόμενα ἐξηγητῶν.

ἀστεῖος, ἀστεϊσμός: v. 30. 105. 279.

ἀσύνδετον: **19.** Tiberius III, p. 77 *Sp.* (Caec. Cal. fr. 70 *Of.*): ἀσύνδετον δέ ἐστιν, ᾧ πολλαχοῦ χρῆται ὁ Δημοσθένης, κατ' ὄνομα καὶ κατὰ κῶλον ⟨καὶ κατὰ κόμμα⟩ καὶ ἐν τόπῳ. — v. 201.

ἄτονος: v. 38.

ἀτρεκές: v. 34.

αὐθάδης: v. 211.

αὔξησις: v. 170.

αὐστηρός: v. 31. 33. 127. 132. 142. 143. 200.

αὐτοσχεδιάζειν: **20.** [Plutarchus] Vit. X orat. 8, 68: ὀνειδίσαντος δ' αὐτὸν Ἐπικλέους, ὅτι ἀεὶ σκέπτοιτο, αἰσχυνοίμην γὰρ ἄν, εἶπεν, εἰ τηλικούτῳ δήμῳ συμβουλεύων αὐτοσχεδιάζοιμι. — **21.** ibid. 8, 71: τοὺς δὲ πλείστους λόγους εἶπεν αὐτοσχεδιάσας, εὖ πρὸς αὐτὸ πεφυκώς. — Hi duo loci adeo inter se contrarii sunt, ut e diversis fontibus eos haustos esse manifestum sit (cf. Westermann, Plut. vitae X orat., Lipsiae 1833, ad hunc locum); praeterea multa exempla maximam partem fabulosa traduntur, quibus ex tempore loquendi facultatem ei defuisse demonstratur; v. etiam καιρός.

βάρος: v. 119.

βάσις: v. 138. 160.

βία: **22.** περὶ ὕψ. 12, 4: ὁ μὲν ἡμέτερος (sc. Δημ.) διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τάχους ῥώμης δεινότητος οἷον καίειν τε ἅμα καὶ διαρπάζειν, σκηπτῷ τινι παρεικάζοιτ' ἂν ἢ κεραυνῷ. — **23.** Schol. ad Dem. orat. XXIV (764, 24 *Di.*): Δημοσθενικῆς βίας τὸ νόημα, τὸ περιτρέπειν τοῦ ἀντιδίκου τὸ ἰσχυρὸν εἰς τοὐναντίον . . . ὁ ῥήτωρ βιαίως ἀνατρέπει τοῦτο κτλ. — **24.** Schol. ad Dem. orat. III (118, 4 *Di.*): διὸ καὶ Ἰσοκράτης μὲν πιθανώτερος εἶναι δοκεῖ, περιττεύων τοῖς παραδείγμασι, Δημοσθένης δὲ βίαιος (v. 225) ὑπείληπται, νῦν μὲν τοῖς ἐνθυμήμασι, νῦν δὲ παραδείγμασιν, αὖθις δὲ ἐντέχνῳ πίστει χρώμενος. — **25.** Syrianus schol. in Hermogenem, II, p. 27 *R.*: ἔστι δέ τις παρά τε Δημοσθένει καὶ Θουκυδίδῃ βιαιοτέρα μέθοδος, ἥ τις καὶ τὰ πρὸς ἔπαινον τῶν ἐναντίων ἀπὸ τῆς γνώμης διαβάλλει καὶ τὰ καθ' ἡμῶν κινοῦντα λοιδορίαν ἀπὸ τῆς διανοίας βέλτιστα δείκνυσιν. — **26.** Marcellinus schol. εἰς στάσεις IV, p. 512 *W.*: εἰ δὲ μὴ τοῦτο ἔσται, Δημοσθενικῆς δεῖ τῆς δεινότητος καὶ βίας. — **27.** Prol. ad Aristidem III, p. 744 *D.*: (Ἀριστείδης) τὴν Δημοσθένους βίαν μιμούμενος. — v. 126.

βραχυλογία: **28.** Photius Bibl. cod. 262, p. 489 *a*: ἀλλὰ καὶ τὸ μὴ καθ' ἓν διατρίβοντα μηκύνειν τὸν λόγον τῆς τοῦ Λυσίου ἐστὶν ἀκριβείας καὶ τὸ εὐπαγὲς τῶν λόγων καὶ τὸ διὰ βραχύτητος πολλὴν παρέχειν ἡδονήν, ὃ μετά γε Δημοσθένην οὗτος μόνος τῶν ἄλλων ῥητόρων φαίνεται κατορθώσας. — v. 170.

Βριάρεως: **29.** Athenaeus VI, 224 *a* (sequor Kaibelium): Τιμοκλῆς (Kock, II, 1, 457) δ' ἐν Ἥρωσιν·

οὐκοῦν κελεύεις νῦν με πάντα μᾶλλον ἢ
τὰ προσύντα φράζειν. Β. πάνυ γε. Α. δράσω τοῦτό σοι·
καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης
ὀργιζόμενος. Β. ὁ ποῖος ὁ Βριάρεως;
Α. ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων,
μισῶν λόγους ἄνθρωπος οὐδὲ πώποτε
ἀντίθετον εἰπὼν οὐδὲν, ἀλλ' Ἄρη βλέπων.

Universitäts- und
Landesbibliothek Düsseldorf

βωμολοχία: v. 191.

γελοῖος: **30.** *περὶ ὕψ.* 34, 3: *ἔνθα μέντοι γελοῖος εἶναι βιάζεται καὶ ἀστεῖος, οὐ γέλωτα κινεῖ μᾶλλον ἢ καταγελᾶται, ὅταν δὲ ἐγγίζειν θέλῃ τῷ ἐπίχαρις εἶναι, τότε πλέον ἀφίσταται.* — **31.** Plut. Dem. c. 11: *οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις; ἐν δὲ ταῖς παρὰ τὸν καιρὸν ἀπαντήσεσι ἐχρῆτο καὶ τῷ γελοίῳ.* — v. 191. 271.

γένη τῶν λόγων: **32.** Dion. Hal. Dem. c. 44: *πανηγυρικοὺς μὲν οὖν λόγους οὐκ ἔχομεν αὐτοῦ παρασχέσθαι· πάντας γὰρ ἔγωγε τοὺς ἀναφερομένους εἰς αὐτὸν ἀλλοτρίους εἶναι πείθομαι καὶ οὐδὲ κατὰ μικρὸν ἔχοντας τὸν ἐκείνου χαρακτῆρα οὔτ' ἐν τοῖς νοήμασιν ⟨οὔτ' ἐν τοῖς ὀνόμασιν⟩, τῆς δὲ συνθέσεως ὅλῳ καὶ τῷ παντὶ λειπομένους.* — **33.** Dion. Hal. Dem. c. 45: *διὰ τοῦτο ἐν μὲν ταῖς συμβουλαῖς καὶ μάλιστα ταῖς κατὰ Φιλίππου κατακορεστέραις κέχρηται ταῖς αὐστηραῖς ἁρμονίαις, ἐν δὲ τοῖς πρὸς τὰ δικαστήρια συνταχθεῖσι ταῖς γλαφυραῖς. καὶ αὐτῶν δὲ τῶν δικανικῶν πάλιν ἐν μὲν τοῖς δημοσίοις, ἔνθα τὸ ἀξίωμα ἔδει τῆς πόλεως φυλάξαι, ταῖς μεγαλοπρεπεστέραις πλείοσιν, ἐν δὲ τοῖς ἰδιωτικοῖς ἐλάττοσι.* — **34.** Syrianus schol. *εἰς στασ.* IV, p. 41 *W.* (Dion. Hal. *περὶ μιμ.* fr. 2 Usener): *διὸ καὶ Δημοσθένης ἐν μὲν δικανικῷ καὶ συμβουλευτικῷ εὐδοκίμει, ἧττον δὲ τῷ πανηγυρικῷ διὰ τὸ ἀτρεκὲς καὶ ἀμελέτητον.* — **35.** *προλεγ. τῆς ῥητ.* VI, p. 37 *W.*: *ὅτι ἐπιμέλεια τὸ πᾶν δύναται κατορθοῦν, μάρτυς Δημοσθένης, ἐν οἷς μὲν ἐγυμνάσατο πάνυ εὐδοκιμῶν, τῷ συμβουλευτικῷ φημι καὶ δικανικῷ· ἐν δὲ τῷ πανηγυρικῷ τοῦ ἀκριβοῦς ἀστοχῶν διὰ τὸ ἀμελέτητον, ὡς ἐπιτάφιος αὐτοῦ δείκνυσιν.* — **36.** Syrianus schol. *εἰς στάσ.* IV, p. 45 *W.*: *πολλαὶ τέχναι ἐν ἀνθρώποις εἰσὶν ἐκ τῶν ἐμπειριῶν ἐμπειρίας εὑρημέναι καὶ παράδειγμα τῶν λεγομένων Δημοσθένης, ἐν οἷς οὐκ ἐγυμνάσατο τοῦ πρὸς ἀκρίβειαν ἀστοχῶν.* — **37.** Syrianus schol. *εἰς Ἑρμ. τέχν.* II, p. 9 *R.*: *τοὺς μὲν δικανικοὺς καὶ συμβουλευτικοὺς τῶν λόγων φαίνεται κατὰ τὸ προσῆκον συντεθεικώς, ἅτε καὶ σφόδρα γυμνασθεὶς ἐν τούτοις, περὶ δὲ τοὺς πανηγυρικοὺς τῶν λόγων οὐ σφόδρα ἐπιτηδείως ἔχων· τὸν γοῦν ἐπιτάφιον αὐτοῦ τινες αἰτιῶνται ὡς παρὰ τὴν ἀξίαν τοῦ ῥήτορος συγκείμενον.* — **38.** Schol. *εἰς στάσ.* VII, p. 108 *W.*: *ὅτι χρὴ δὲ πρὸς τῇ εὑρέσει καὶ γυμνασίαν ἀσκεῖν ἐδήλωσε Δημοσθένης· εἰς μὲν γὰρ τὸ δικανικὸν καὶ τὸ συμβουλευτικὸν ἄμαχος ἦν ὁ ἀνήρ, ἐπειδὴ τούτοις συνεγυμνάσατο, περὶ δὲ τὸ πανηγυρικὸν ἄτονος ἐδόκει καὶ ἀνίσχυρος διὰ τὸ μὴ πεῖραν καὶ τριβὴν ἐν τούτοις λαβεῖν.* — **39.** Schol. *εἰς στάσ.* VII, p. 164 *W.*: *ὁρῶμεν γὰρ τοὺς ἰδιωτικοὺς Δημοσθένους κομιδῇ κατὰ τὴν ἑρμηνείαν εὐζωνεστέρους.* — v. 65. 158. 181.

γενναῖος: v. 127.

γλαφυρός: v. 33. 69. 127. 200.

γνῶμαι: **40.** Theon progymn. II, p. 92 *Sp.*: *καὶ μὴν καὶ παρὰ τοῖς ῥήτορσι* (sc. *γνώμας*) *εὕροιμεν ἄν, οὐχ ἥκιστα καὶ παρὰ τῷ πολιτικωτάτῳ Δημοσθένει καὶ ἐν τοῖς πολιτικωτάτοις αὐτοῦ λόγοις.*

γνῶναι: v. 81.

γοργότης: **41.** Hermogenes *περὶ ἰδ.* II, p. 413 *Sp.*: *καθόλου τε ὁ ἀνὴρ ἐμφαινόμενον ἔχει πολὺ τὸ Δημοσθενικὸν διὰ τὸ τραχὺ καὶ γοργὸν καὶ σφοδρόν.* — v. 112. 201.

δεινότης: **42.** Aesch. III, 174: *δεινὸς λέγειν, κακὸς βιῶναι.* — **43.** [Aesch.] Epist. 12 [42, 11 *H.*] *ἡ Δημοσθένους δεινότης.* — **44.** Philodemus Vol. rhet. I, 197 Sudh.: *οὐ μὴν ἀλλὰ καὶ τούτῳ* (sc. *Δημ.*) *⟨δὴ κ⟩αίπερ ἐν τοῖς δεινο⟨τά⟩τοις ὄντι . . .* — **45.** Dion. Hal. Dem. c. 56: *ταῦτα μὲν οὖν ἐγκώμια τῆς Δημοσθένους δεινότητος ὄντα . . .* — **46.** Dion. Hal.

Universitäts- und
Landesbibliothek Düsseldorf

Isaeus c. 13: *πολλὰ γὰρ ἄν τις εὕροι τῶν Ἰσαίου κατὰ τὴν σύνθεσιν καὶ κατὰ τοὺς σχηματισμοὺς ἐξηλλαγμένα μὲν τῆς Λυσίου λέξεως, ἐοικότα δὲ τῇ Δημοσθένους δεινότητι.* — **47.** Dion. Hal. Isaeus c. 20: . . . *τῆς Δημοσθένους δεινότητος, ἣν οὐθείς ἐστιν, ὃς οὐ τελειοτάτην ἁπασῶν οἴεται γενέσθαι* . . . — **48.** Dion. Hal. ad Amm. c. 3: *Δημοσθένους ἀκμάζοντος* . . . *καὶ θαυμαζομένου διὰ πάσης τῆς Ἑλλάδος ἐπὶ δεινότητι λόγων* . . . — **49.** Dion. Hal. De comp. verb. c. 18: *ἑνὸς ἔτι παραθήσομαι λέξιν, ᾧ τὰ ἀριστεῖα τῆς ἐν λόγοις δεινότητος ἀποδίδωμι· ὅρος γὰρ δή τίς ἐστιν ἐκλογῆς τε ὀνομάτων καὶ κάλλους συνθέσεως ὁ Δημοσθένης.* — **50.** Dion. Chrys. orat. 18, 11: *τῶν γε μὴν ῥητόρων τοὺς ἀρίστους τίς οὐκ ἐπίσταται, Δημοσθένην μὲν δυνάμει τε ἀπαγγελίας καὶ δεινότητι διανοίας καὶ πλήθει λόγων πάντας τοὺς ῥήτορας ὑπερβεβληκότα.* — **51.** *περὶ ὕψ.* 39, 4: *ὁ δὲ ἔνθεν ἑλὼν τοῦ μεγαλοφυεστάτου καὶ ἐπ' ἄκρον ἀρετὰς συντετελεσμένας, ὑψηγορίας τόνον, ἔμψυχα πάθη, περιουσίαν, ἀγχίνοιαν, τάχος, ἔνθα δὴ κύριον τὴν ἅπασιν ἀπρόσιτον δεινότητα καὶ δύναμιν, ἐπειδὴ ταῦτα, φημί, ὡς θεόπεμπτά τινα δωρήματα (οὐ γὰρ εἰπεῖν θεμιτὸν ἀνθρώπινα) ἀθρόα εἰς ἑαυτὸν ἔσπασε, διὰ τοῦτο, οἷς ἔχει καλοῖς ἅπαντας ἀεὶ νικᾷ καὶ ὑπὲρ ὧν οὐκ ἔχει, καὶ ὥσπερεὶ καταβροντᾷ καὶ καταφέγγει τοὺς ἀπ' αἰῶνος ῥήτορας· καὶ θᾶττον ἄν τις κεραυνοῖς φερομένοις ἀντανοῖξαι τὰ ὄμματα δύναιτο ἢ ἀντοφθαλμῆσαι τοῖς ἐπαλλήλοις ἐκείνου πάθεσιν.* — **52.** Lucianus *περὶ τῶν ἐπὶ μισθῷ συνόντων* c. 25: *ἐκτετήκασι τῷ πόθῳ . . . τῆς Δημοσθένους δεινότητος.* — **53.** Luc. Dem. enc. c. 18: *οἶμαι δὲ καὶ σὲ μεταπηδᾶν, οὐκ ἔχοντα, ἐφ' ὅ τι σταίης, ἐν κύκλῳ σε περιελκόντων φύσεως μεγαλοπρεποῦς, ὁρμῆς διαπύρου, βίου σώφρονος, λόγου δεινότητος, τῆς ἐν ταῖς πράξεσιν ἀνδρείας, λημμάτων πολλῶν καὶ μεγάλων ὑπεροψίας, δικαιοσύνης, φιλανθρωπίας, πίστεως, φρονήματος, συνέσεως, ἑκάστου τῶν πολλῶν καὶ μεγάλων πολιτευμάτων.* — **54.** Luc. Dem. enc. c. 32: *ἀλλ' εἰ δή τινα πάντων καὶ Δημοσθένην αὐτός τε δὶς Ἀθήνησιν, εἰ καὶ μὴ κατὰ πολλὴν σχολὴν συγγενόμενος καὶ παρὰ τῶν ἄλλων ἀναπυνθανόμενος ἔκ τε τῶν πολιτευμάτων αὐτῶν εἶχον θαυμάσας οὐχ ὡς ἂν νομίσειέ τις, τῆς τῶν λόγων δεινότητος, εἰ καὶ μηδὲν μὲν ὁ Πύθων πρὸς αὐτόν, οἱ δὲ Ἀττικοὶ ῥήτορες παιδιὰ παραβάλλειν τῷ τούτου κρότῳ καὶ τόνῳ καὶ λέξεων εὐρυθμίᾳ καὶ ταῖς τῶν διανοιῶν περιγραφαῖς καὶ συνεχείαις ἀποδείξεων καὶ τῷ συνακτικῷ καὶ κρουστικῷ . . . ἀλλ' ἡμῖν ἀπρόσιτος ἡ δύναμις αὐτῷ τοῦ λόγου.* — **55.** Libanius Epist. 1597: . . . *Δημοσθένους δεινότητα* . . . — **56.** Lib. hyp. ad Dem. orat. XVIII, p. 220: . . . *τὴν περὶ λόγους δεινότητα* (sc. *Δημ.*). — **57.** *γένος Ἰσαίου*, p. 262, biogr. graec. ed. Westermann: *ἀμέλει γοῦν (Ἰσαῖος) πηγή τις τῆς τοῦ Δημοσθένους ἐκαλεῖτο δεινότητος.* — **58.** Ulpianus, Prol., p. 4 Dind.: *ἐν ᾧ καὶ θαυμάσειεν ἄν τις αὐτοῦ τὴν μεταχείρισιν καὶ τὸ ὑπερβάλλον τῆς δεινότητος.* — **59.** Schol. ad Dem. orat. II, p. 80, 20 *Di.*: *τοῦτο γὰρ μάλιστα ἴδιον τῆς Δημοσθένους δεινότητος τὸ προλαβεῖν ταῖς προκατασκευαῖς τὸν ἀκροατὴν, ὥστε ἀδεῶς παραδέχεσθαι τὰ μέλλοντα λέγεσθαι.* — **60.** Schol. ad Dem. orat. XIV, p. 225, 15 *Di.*: *τοιοῦτον δὲ εἶδος παρὰ τοῖς νεωτέροις οὐκ ἄν τις εὕροι, διὰ τὸ τὴν ὑπερβολὴν τῆς δεινότητος τῶν παλαιῶν μὴ ῥᾳδίως ὑποπίπτειν μιμήσει. δύο οὖν σχήματα παραδεδώκασιν ἡμιν κρυπτῶν λόγων Δημοσθένης καὶ Θουκυδίδης — οὗτοι γὰρ ἐπὶ δεινότητι τῶν ἄλλων διήνεγκαν* . . . — **61.** Lex. Seguer. Bekk. Anecd. 442, 30 (Suidas s. v.) *ἀργάς* (*ἄργας* Lex.): *ὁ δεινότατος παρ' ἡλικίαν ἀργὰς καλεῖται.* Deinde Lex. *οὕτως ἔλεγον καὶ τὸν Δημοσθένην*, pro quibus Suidas: *τούτῳ ἀφομοιοῦσθαι ὑπ' Αἰσχίνου τὸν Δημοσθένην.* Vix haec ad dicendi vim, quae *λεκτικὴ δεινότης* appellabatur spectant. Cf. quae ad Harpocr. i. v. *ἀργᾶς* congessit Dindorf. — **62.** Isidorus Pelus.

Universitäts- und
Landesbibliothek Düsseldorf

Epist. IV, 91: *οἱ δὲ (ἀποδέχονται) τὴν Δημοσθένους δεινότητα, πάσας γὰρ αὐτῶν σεσιτῆσθαι τὰς τῶν λόγων τέχνας οἴονται, καὶ ἐν τῷ δεινῷ καὶ πικρῷ καὶ παθητικῷ καὶ ἐναγωνίῳ πάντας ὑπερβάλλεσθαι.* — **63.** Isidorus Pelus. Epist. II, 146: *οὗτος (Ἰσοκράτης) γὰρ παρ' ἐμοὶ κριτῇ ἐνδοξότερός ἐστιν ἐκείνου* (sc. *Δημ.*), *οὐ δεινότητι, ἐν ταύτῃ γὰρ ἐκεῖνος κρατεῖ.* — **64.** Isidorus Pelus. Epist. V, 497: *σοφούς φημι οὐ τοὺς . . . τὴν Δημοσθένους δεινότητα ζηλοῦντας.* — **65.** Maximus Planudes *σχολ. εἰς ἰδ.* V, p. 542 *W.*: *ἰστέον, ὅτι οὐ περὶ τῆς ὄντως νῦν δεινότητος διαλέγεται. ἐκείνη μὲν γὰρ γίνεται, ὅταν τις ἄριστα καὶ ἐπιστημονικῶς χρῆται ταῖς ἰδέαις πάσαις τοῦ λόγου καὶ τοῖς ἐναντίοις αὐτοῖς· καὶ ἔτι ἐπιχειρήμασί τε καὶ ἐργασίαις καὶ ἐνθυμήμασι καὶ ἀντιθέσεσι καὶ λύσεσιν . . ., καθ' ἣν καὶ Δημοσθένης δεινὸς ἂν λέγοιτο πρὸς τὰς χρείας μεθαρμόζων τὰς ἰδέας· ἄλλος μὲν γὰρ ἐν ἰδιωτικοῖς ἐστιν, ἄλλος δὲ ἐν δημοσίοις.* — **66.** Tzetzes schol. in Hermogenem (Cramer, Anecd. Oxon. IV, 127, 20):

περὶ τῆς οὔσης λέγω δὲ καὶ μὴ δοκούσης εἶναι
ὁποῖα ἡ δεινότης ἦν τοῦ ῥήτορος Λυσίου·
τὸ Δημοσθένους γὰρ δεινὸν κατ' ἔννοιαν ὑπάρχει,
δεινότης ἡ Δεινάρχου δὲ γίνεται μόνῃ λέξει.

v. 22. 26. 78. 79. 81. 84. 91. 92. 102. 107. 112. 124. 149. 152. 158. 162. 168. 182. 189. 203. 219. 225. — cf. vis.

δείνωσις: **67.** *περὶ ὕψ.* 12, 5: *καιρὸς δὲ τοῦ Δημοσθενικοῦ μὲν ὕψους καὶ ὑπερτεταμένου ἔν τε ταῖς δεινώσεσι καὶ τοῖς σφοδροῖς πάθεσι, καὶ ἔνθα δεῖ τὸν ἀκροατὴν τὸ σύνολον ἐκπλῆξαι.* — v. 258.

δημήγορος: **68.** Philodemus[1]) II, p. 245 Sudh.: *Τοιγαροῦν ὁ Με⟨τρ⟩ό-δ⟨ωρος μὲν τὸν⟩ Καλ⟨λί⟩στρατ⟨ον⟩ καὶ ⟨Δ⟩ημοσθέ⟨ν⟩ην, καθ⟨ὸ⟩ τὴν ῥητο-ρ⟨ικ⟩ὴν ⟨εἶ⟩χο⟨ν, φ⟩ησὶ δ⟨ημ⟩ηγόρους ὑπάρχε⟨ι⟩ν.*

διάθεσις: **69.** Luc. Dem. enc. 6: *ἥδομαι δὲ καὶ πάθη καὶ διαθέσεις καὶ τροπὰς λέξεως καταμανθάνων καὶ τὰς ἀφαιρούσας τὸν κόρον μεταβολὰς καὶ τὰς ἐκ τῶν παρατροπῶν ἐπανόδους καὶ τὰς τῶν παραβολῶν σὺν τῷ καιρῷ γλαφυρότητας καὶ τὸ τοῦ τρόπου μισοβάρβαρον πανταχοῦ.* — v. 116.

διαίρεσις: **70.** Schol. in Aphthonium II, p. 669 *W.*: *ὥσπερ πολλάκις καὶ Δημοσθένης ποιεῖ ταῖς χρείαις τὴν τάξιν συμμεταβάλλων τῆς διαιρέσεως.*

διακριβόω: v. 5.

διάκρισις: v. 98.

διαλεκτική, διάλεκτος: **71.** Doxopater *προλ. τῆς ῥητ.* VI, p. 24 *W.*: *τρίτη δὲ* (sc. *ῥητορική*) *ἡ ἀντίστροφος τῇ διαλεκτικῇ. Διαφέρεται γὰρ διαλεκτικὴ ῥητορικῆς, ὅτι ἡ μὲν διαλεκτικὴ κατὰ πεῦσιν καὶ ἀπόκρισιν ποιεῖται τὴν ζήτησιν, ἡ ῥητορικὴ δὲ διεξοδικῶς περὶ τῶν πολιτικῶν πραγμάτων, ἠγήσατο δὲ καὶ ταύτης Δημοσθένης τε καὶ Λυκοῦργος καὶ ἄλλοι.* Sim. Maximus Plan. V, p. 214 *W.* — v. 90. 93. 129. 142. 167.

διαλελυμένος: v. 17.

διάνοια: v. 50. 54.

διάπυρος: **72.** *περὶ ὕψ.* 12, 3: . . . *κατὰ λόγον ὁ μὲν ῥήτωρ ἅτε παθητικώτερος πολὺ τὸ διάπυρον ἔχει καὶ θυμικῶς ἐκφλεγόμενον.* — v. 53.

διατύπωσις: **73.** Photius Bibl. cod. 262, p. 489*a*: *καὶ τὸ κάλλος δὲ τῆς διατυπώσεως* (sc. *τοῦ Λυσίου ἐστίν*), *ἐν ᾧ μήτε Πλάτωνος μήτε Δημοσθένους μήτε Αἰσχίνου τὸ ἔλαττόν ἐστιν ἀπενηνεγμένος.*

διεστῶσαι ἁρμονίαι: v. 143.

---

[1]) Critolaus peripateticus hos oratores *οὐκ ἐμπράκτους ῥήτορας* et *σοφιστὰς* appellaverat; cui Metrodorus Epicureus obloquitur; v. 87. 88. 129. 167.

Universitäts- und
Landesbibliothek Düsseldorf

διήγησις: **74.** Apsines *τέχν. ῥητ.* I, p. 253 *Sp.* (p. 250, 7 *H.*): *ὁ μὲν Λυσίας κατὰ ὄρθωσιν ἀνηπλωμένως τὰς διηγήσεις, ὁ δὲ Δημοσθένης πλαγιάζων μετ' ἐννοίας εἰσάγει, καὶ ὁ μὲν ψιλάς, ὁ δὲ συμπεριφέρων τι αὐταῖς.*

δραστήριον: v. 129.

δριμύς: v. 15.

δύναμις: **75.** Dinarchus *κατὰ Δημ.* 5: *προορῶσα ἡ βουλή, ὦ ἄνδρες, τὴν τούτων ἰσχὺν καὶ τὴν ἐν τῷ λέγειν καὶ πράττειν δύναμιν.* Vox *ἰσχύς* num hoc loco ad vim oratoriam spectet, valde dubium est. — **76.** Plut. Dem. c. 18 (Theopompi fr. 239 *M.*): *ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν, ὥστε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν.* — **77.** Philodemus II, p. 156 *S.*: *⟨τῆς δὲ Καλ⟩λιστρα⟨τείου⟩ καὶ Δημοσθενείου κεχωρίσθαι δυνάμεως.* — **78.** Dion. Hal. Isaeus c. 3: *τοσοῦτον ὑπερέχει (Ἰσαῖος) τῇ δεινότητι τῆς κατασκευῆς* (sc. *τοῦ Ἰσοκράτους*) *καὶ πηγή τις ὄντως ἐστὶ τῆς Δημοσθένους δυνάμεως.* — **79.** Plut. Pyrrhus c. 14: *. . . τῆς ἐκείνου (Δημ.) δυνάμεως καὶ δεινότητος . . .* — **80.** Libanius *ὑποθ. προοίμ.* 6: *πολὺ γὰρ τῆς ἐκείνου δυνάμεως ἀπολείπονται.* — **81.** Suidas s. v. *Δημοσθένης* (2): *Δημοσθένης ὁ ῥήτωρ ἀνὴρ ἦν γνῶναί τε καὶ εἰπεῖν, ὅσα ἐνθυμηθείη, δυνατώτατος γενόμενος, ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν, οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι.* — v. 50. 51. 54. 92. 107.

δυσείκαστος: v. 18.

δύσκολος, δύστροπος: **82.** Demosthenes VI, 30: *τοὺς . . . λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύστροπος καὶ δύσκολός εἰμί τις ἄνθρωπος.* Cf. Philostratus Vit. Soph. II, 22 *K.* — v. 152.

εἰλικρινής: **83.** Phrynichus apud Photium Bibl. cod. 183, p. 101 *b*: *εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ Ἀττικοῦ λόγου κανόνας καὶ στάθμας καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ Δημοσθένην μετὰ τοῦ ῥητορικοῦ τῶν ἐννέα χοροῦ.*

εἰρωνεία: **84.** Marcellinus de Thuc. vita c. 56, p. 199 Westerm. (Caec. Cal. fr. 157 *Of.*): *(Θουκ.) οὔτε γὰρ εἰρωνείαις οὔτ' ἐπιτιμήσεσιν οὔτε ταῖς ἐκ πλαγίου ῥήσεσιν οὔτ' ἄλλαις τισὶ πανουργίαις πρὸς τὸν ἀκροατὴν κέχρηται, τοῦ Δημοσθένους μάλιστα ἐν τούτοις ἐπιδεικνυμένου τὴν δεινότητα.* — v. 212.

ἐκλογὴ ὀνομάτων: **85.** Dion. Hal. *περὶ μιμ.* 5, 4 (De vett. cens., II, 1, 212 *Us.*) *. . . λέξεων ἐκλογῇ κεκοσμημένος.* — **86.** Photius Bibl. cod. 265, p. 491 *a*: *. . . πολλοῖς τε ἄλλοις ὁ Δημοσθένης πλεονεκτῶν τῶν λοιπῶν ῥητόρων καὶ τῇ τῶν ὀνομάτων ἐκλογῇ ἐπὶ τὸ ἄμεινον διενήνοχεν . . .* — v. 49. 98. 102. 104.

ἐμμέλεια: v. 219; cf. *μέλος.* — *ἔμμετρος:* v. 209.

ἔμπρακτος: **87.** Philodemus vol. rhet. II, p. 97 *S.*: *παρασχηματί⟨ζονται δ⟩ὲ τ⟨ῶ⟩ν μὲν ἐμπρά⟨κτων Δημοσ⟩θένης καὶ Λυκοῦργος, τῶν δὲ σοφιστῶ⟨ν Ἰσοκρ⟩άτης.* — **88.** Philodemus vol. rhet. II, p. 274 *S.*: *⟨Λυ⟩κοῦργον ⟨καὶ Δημοσθέ⟩νην καὶ Ὑπε⟨ρείδην ἐμπρ⟩άκτους ἐκ τοῦ ⟨λόγου τοῦ⟩τον πῶς ἂν λέ⟨γοι; πρῶτο⟩ν γὰρ οὐχ οἷον ⟨ἐπὶ τῶ⟩ν ἀληθινῶν ⟨ἀγών⟩ων ἀλλ' οὐδ' ἐπὶ ⟨τῶν συν⟩τάξεων ἐν⟨φασις⟩ κόσμου τις ἦν, ⟨οὐδὲ τῇ ἐ⟩πιμ⟨ελ⟩εί᾽ φ⟨α⟩ί⟨νονται λ⟩αλιὰ⟨ν⟩ κενὴν ⟨φεύγον⟩τες καὶ περὶ ⟨πραγμά⟩των ἀκατ⟨α⟩στοχάστων.*

ἔμψυχον: **89.** Lucianus Dem. enc. c. 14: *μόνος γέ τοι τῶν ῥητόρων, ὡς ὁ Λεωσθένης ἐτόλμησεν εἰπεῖν, ἔμψυχον καὶ σφυρήλατον παρεῖχε τὸν λόγον.* — v. 51. 124.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἐναγώνιος: v. 62. 129. 168. 189.

ἐναλλαγή: v. 116.

ἐνάργεια: **90.** [Dion. Hal.] τέχν. ῥητ. X, 10: ἔστιν δὲ ὁ μὲν καιρὸς ἐκεῖνος, ὅταν ἐναργέστερόν τι ὄνομα ἢ ἀπὸ ποιήσεως ἢ διαλεκτικῆς ἢ ἱστορικῆς, χρῆσθαι, ὡς ὁ ῥήτωρ, πρὸς τὴν ἐνέργειαν (codd. G M¹ ἐνάργειαν exhibent, quae scriptura ex antecedente ἐναργέστερον orta esse videtur.) — **91.** Plutarchus Dem. et Cic. comp. c. 1: Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν, ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως λόγιον, ὑπερβαλλόμενος ἐναργείᾳ μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικούς, ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς. — v. 170. 195.

ἐναρμόνιος: v. 17. 139.

ἐνέργεια: v. 90.

ἐνθουσιασμός: v. 197. 209.

ἐνθύμημα: v. 24. 65. 121. 181.

ἔνστασις: v. 15.

ἐξαλλαγή: **92.** Dion. Hal. Dem. c. 13: ... ἐξαλλαγῆς δὲ ἢ σεμνολογίας ἢ δεινότητος ἢ τῶν ἄλλων τινός, ἃ τῇ Δημοσθένους δυνάμει παρακολουθεῖν πέφυκεν ... — **93.** Dion. Hal. περὶ Θουκ. c. 55: μυρία παραδείγματα φέρειν δυναίμην ἂν ἐκ τῶν τοῦ Δημοσθένους λόγων τῶν τε δημηγορικῶν καὶ τῶν δικανικῶν, ἃ παρὰ τὸν Θουκυδίδου κατεσκεύασται χαρακτῆρα τὸν ἐν τῇ κοινῇ καὶ συνήθει διαλέκτῳ τὴν ἐξαλλαγὴν ἔχοντα. — **94.** Schol. ad Dem. or. XXI, p. 568, 14 *Di.*: τοῦτο γὰρ ἴδιον Δημοσθένους τὸ πολλάκις τὰ αὐτὰ λέγοντα φεύγειν τὸ προσκορὲς διὰ τῆς ἐξαλλαγῆς τῶν μεθόδων καὶ τῶν σχημάτων. — v. 102. 113. 124. 127. 142. 158. 168. 190. 194. 215.

ἐξεργασία: v. 102.

ἐπάνοδος: v. 69.

ἐπιδεικτικός: v. 2.

ἐπιμελής: **95.** Suidas s. v. Δημοσθένης (1; Hermippi fr. 59 *M.*): Δημοσθένης ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς Ἕρμιππος ἱστορεῖ. — **96.** Zosimus Vit. Dem. p. 299 Westerm. (p. 20, 1 *Di.*): πολλὰ δ' ἐκ φύσεως ἔχων ἐλαττώματά τε καὶ νοσήματα ἐπιμελείᾳ τὴν φύσιν ἐνίκησεν. de hac re quam plurimae fabulae apud veteres narrantur (cf. Blass, Att. Ber., III², 1, p. 21 sqq.) — v. 35. 195. 201. 238.

ἐπιστροφή: **97.** Philostr. βίοι σοφ. II, p. 20 *K.*: σεμνότης δ' ἡ μὲν Δημοσθένους ἐπεστραμμένη μᾶλλον, ἡ δὲ Ἰσοκράτους ἁβροτέρα τε καὶ ἡδίων.

ἐπίτασις: v. 7.

ἐπιτίμησις: v. 84.

ἐπιφορά: v. 111.

ἐπίχαρις: v. 30.

ἐπιχειρήματα: **98.** Aristides τέχν. ῥητ. II, 11; p. 538 *Sp.*: τῶν δὲ ἐπιχειρημάτων ὁ μὲν Δημοσθένης αἰεί καὶ οἱ τοὺς δικανικοὺς λόγους συνεσκευασμένοι ἐκλογάς τε καὶ διακρίσεις ποιοῦνται καὶ ἐπισημαίνονται καθ' ἕκαστον τὰς δυνάμεις αὐτῶν τιθέντες. — **99.** Schol. ad Dem. or. XV 242, 13 *Di.*: πέφυκε γὰρ ὁ Δημοσθένης οὐκ ἀφ' ἑνός τινος ἐπιχειρήματος πείθειν, ἀλλ' ἐκ ποικίλων καὶ παντοδαπῶν, νῦν μὲν φοβῶν, νῦν δὲ πείθων, νῦν δὲ ἐνάγων εἰς φιλανθρωπίαν, νῦν δὲ τὸ δίκαιον ἀπαιτῶν. — v. 65. 102.

ἐργασία: v. 65.

ἑρμηνεία: v. 101. 158.

ἐρώτησις: v. 201.

Universitäts- und
Landesbibliothek Düsseldorf

εὐγενεῖς ῥυθμοί: v. 187.

εὐκόρυφος: v. 160.

εὔζωνος: v. 39. — *εὐκρατῶς:* v. 155.

εὐκρίνεια: **100.** Hermogenes *περὶ ἰδ. α'*; II, p. 283 sq. *Sp.*: *ἔτι κατὰ φύσιν τὴν τῶν πραγμάτων ἐστὶν εὐκρινὲς τὸ τὰς ἀντιθέσεις πρώτας τῶν λύσεων τιθέναι, καὶ τοῦτο ὁ μὲν Ἰσοκράτης σχεδὸν ἀεὶ ποιεῖ, οὐ μὴν ὅ γε ῥήτωρ ἀεί, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων ἕκαστον τῇ τάξει τίθησιν, ὅπως ἂν αὐτῷ λυσιτελῇ, πρῶτον ἢ τελευταῖον ἢ μέσον, οὕτω καὶ τὰς ἀντιθέσεις λύει τοτὲ μὲν προτιθεὶς τὰς λύσεις αὐτῶν, τοτὲ δὲ ἐπάγων, ἔστι δ' ὅτε μέσας τῶν λύσεων ἐκείνας τιθείς.*

εὐμορφία: v. 219.

εὔογκος: **101.** *ἐκ τῶν Λογγίνου* c. 7, I, p. 326 *Sp.* (214 *H.*): *ὅτι χρὴ ἐν ταῖς συνθήκαις τῶν κώλων εὐπρεπῆ εἶναι τὴν λέξιν καὶ τὴν συνθήκην οὐκ ἀνάρμοστον, ὡς ἂν παίωνας εἶναι καὶ ἡρῴους τοὺς πλείστους, ἐξ ὧν εὔογκος ἡ ἑρμηνεία γίνεται καὶ σεμνή. παραδείγματα δὲ τὰ Πλάτωνος καὶ Δημοσθένους· οὗτοι γὰρ ἄριστοι γνώμονες τῶν τοιούτων.*

εὕρεσις: **102.** Dion. Hal. Din. c. 8: *λείπεται (Δείν.) δὲ Δημοσθένους κατὰ μὲν τὴν ἐκλογὴν τῶν ὀνομάτων τῇ δεινότητι, κατὰ δὲ τὴν σύνθεσιν τῇ ποικιλίᾳ τῶν σχημάτων καὶ τῇ ἐξαλλαγῇ, κατὰ δὲ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων τῷ μὴ καινὰ καὶ παράδοξα λαμβάνειν, ἀλλὰ φανερὰ καὶ ἐν τῷ μέσῳ κείμενα, κατὰ δὲ τὴν οἰκονομίαν τῇ τάξει καὶ ταῖς ἐξεργασίαις τῶν ἐπιχειρημάτων καὶ ταῖς προκατασκευαῖς καὶ ταῖς ἐφόδοις καὶ τοῖς ἄλλοις τεχνικοῖς παραγγέλμασιν, ἃ περὶ ταύτην ἐστὶ τὴν ἰδέαν . . .* — v. inventio. 38.

εὔρυθμος: **103.** Dion. Hal. de verb. comp. c. 9: *οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι πρόνοιαν τῆς ἀκριβείας τῶν κώλων ἢ τῆς εὐρυθμίας.* — v. 54. 127. 170.

εὔτονον: **104.** Dion. Hal. *περὶ μιμ.* (de vett. cens.) 5, 4: *ὁ δὲ Δημοσθενικὸς (λόγος) εὔτονος τῇ φράσει ⟨καὶ⟩ κεκραμένος τοῖς ἤθεσι καὶ λέξεων ἐκλογῇ κεκοσμημένος καὶ χρώμενος τάξει τῇ κατὰ τὸ συμφέρον καὶ μετὰ τοῦ σεμνοῦ τὴν χάριν ἔχων καὶ συνεχής.* — v. 169.

Vocem *συνεχής*, quam Usener corruptam putavit, satis tutantur loci Photii s. v. *πλαγιασμός* (169) et Luciani s. v. *δεινότης* (54) a nobis adlati; apud Aristidem (*τέχν. ῥητ.* II, p. 508 *Sp.*) *σύνδεσις συνεχὴς καὶ λελυμένη* aliud quid significare videtur.

εὐτραπελία: **105.** Dion. Hal. Dem. c. 54: . . . *πάσας ἔχουσα τὰς ἀρετὰς ἡ Δημοσθένους λέξις λείπεται εὐτραπελίας, ἣν οἱ πολλοὶ καλοῦσι χάριν. πλεῖστον γὰρ αὐτῆς μετέχει μέρος* *** *„οὐ γάρ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν“ ὡς καὶ τοὺς ἀστεϊσμοὺς ἅμα ἐν* (Usen. ci. *ἀναίνονται*) *τοῖς Δημοσθένους λόγοις, οὐδὲν γάρ, ὧν ἑτέροις τισὶν ἔδωκεν ἀγαθῶν ὁ δαίμων, ἐκείνῳ ἐφθόνησεν.*

εὐφραδεία: **106.** Sext. Emp. adv. gramm. I, 98: . . . *ὅταν βλέπωμεν τοὺς μηδὲ δύο σχεδὸν ῥήματα δεξιῶς εἴρειν δυναμένους γραμματικοὺς θέλοντας ἕκαστον τῶν μέγα δυνηθέντων ἐν εὐφραδείᾳ καὶ Ἑλληνισμῷ παλαιῶν καθάπερ Θουκυδίδην Πλάτωνα Δημοσθένην ὡς βάρβαρον ἐλέγχειν.*

εὐφυής: **107.** Plut. Dem. c. 8: *ἐκ τούτου δόξαν ἔσχεν, ὡς οὐκ εὐφυὴς ὤν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος, ἐδόκει τε τούτου σημεῖον εἶναι καὶ μέγα τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος.* Hic locus ex Hermippo haustus esse videtur. — v. 95.

εὐφωνία: v. 219.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἔφοδοι: v. 102.

ἡδύς: v. 142. 143.

ἦθος: **108.** [Dion. Hal.] *τέχν. ῥητ.* X, 2: *τοῦτο τὸ ἦθος* (sc. *τὸ ἐκ φιλοσοφίας*) *Πλάτων ὑποθέμενος καὶ τὰ τῶν σοφιστῶν καὶ τὰ τῶν πολιτικῶν . . . ἤθη κατὰ λόγον τούτῳ συνέπλεξεν. τοῦτο καὶ Δημοσθένης ὑποθέμενος δι' ὅλου μεγαλοπρεπής ἐστιν ἐν τοῖς λόγοις, ὁμοίως ἔν τε τοῖς συμβουλευτικοῖς τὸ τοῦ πολιτικοῦ ἦθος ὑποθέμενος καὶ τὸ τοῦ κολακεύοντος τούτῳ συμπλέκων* ⟨*καὶ ἐν τοῖς δικανικοῖς*⟩ * * * *καὶ διαφέρων τὴν δόξαν τοῦ συναγορεύοντος, ἐν οἷς πραχθῆναι συναγωνίζεται κατὰ μίμησιν τὴν Πλάτωνος.* — **109.** Photius Bibl. cod. 265, p. 492*b*: *ἔχεται μὲν οὖν καὶ τοῦ ἤθους οὐκ ἐν τούτῳ μόνον τῷ λόγῳ* (sc. *κατὰ Μειδίου*), *ἀλλὰ καὶ ἐν πολλοῖς ἄλλοις. ἀλλά γε χαλεπώτατόν ἐστι λόγων ἀγωνιστικῶν ἐργάτῃ διὰ τέλους φυλάξαι πρὸς τὸν ἀνταγωνιστὴν τὸ ἦθος, μάλιστα δὲ τοῖς, ὅσοι φύσεως ἔτυχον πικροτέρας τε καὶ παθητικωτέρας, ἧς οὐχ ἥκιστα Δημοσθένης τε καὶ Ἀριστείδης μετέχει, διόπερ πολλάκις ἐξάγονται, τῆς προθέσεως ἐλαττουμένης ὑπὸ τῆς φύσεως· οὐδὲ γὰρ οὐδ' ἔστιν ἱκανὴ τέχνη κατορθῶσα τὸ βούλημα, μὴ συνεργὸν ἔχουσα καὶ τὴν τῆς φύσεως ἰδιότητα.* — v. 104. 112. 142. 143.

θεατρικός: **110.** Julianus Caesar orat. 1, p. 32 *C.*: *Δημοσθένους δὲ καὶ ὅστις τοῦτον ἐζήλωκε τὴν ἐν τοῖς λόγοις ἰσχὺν αἰδούμενος, τῷ τρόπῳ τῆς δημηγορίας οὔποτ' ἂν ἀξιώσαιμι τῷ* ⟨*σῷ*⟩ (sc. *Κωνσταντίνου*) *παραβαλεῖν τἀκείνων θέατρα· οὐ γὰρ ἐν τοῖς ὁπλίταις ἐδημηγόρουν οὐδὲ ὑπὲρ τοσούτων κινδυνεύοντες, ἀλλ' ὑπὲρ χρημάτων ἢ τιμῆς ἢ δόξης ἢ φίλοις συνεργεῖν ἐπαγγειλάμενοι, ἀπῄεσαν οἶμαι πολλάκις ἀπὸ τοῦ βήματος, τοῦ δήμου θορυβήσαντος, ὠχροὶ καὶ τρέμοντες, ὥσπερ οἱ δειλοὶ τῶν πολεμίων ἐν ὄψει στρατηγοὶ παραταττόμενοι.* — v. 200.

θηρολέκτης: **110*a*.** Anon. in Aristot. Rhet. p. 160, 30 Rabe: *νομίζεται δὲ τοῖς σοφοῖς (τὸ πρὸς λέξιν καὶ κάλλος τοῦ λόγου ἀφορᾶν παρ' ὃ πρὸς τὴν τῶν πραγμάτων παράστασιν) φορτικόν· ἐπεὶ καὶ ὁ Πλάτων ἀπεδίωκε τῆς αὐτοῦ διατριβῆς τὸν Δημοσθένην ὡς θηρολέκτην.*

θυμός: **111.** Philostratus *βίοι σοφ.* II, p. 20 *K.*: *Δημοσθένης γὰρ μαθητὴς μὲν Ἰσαίου, ζηλωτὴς δὲ Ἰσοκράτους γενόμενος ὑπερεβάλετο αὐτὸν θυμῷ καὶ ἐπιφορᾷ καὶ περιβολῇ καὶ ταχυτῆτι λόγου τε καὶ ἐννοίας.*

ἰδέα: **112.** Hermogenes *περὶ ἰδ. ἀ;* II, p. 268 *Sp.*: *φημὶ τοίνυν, ὅτι τὸν Δημοσθενικὸν λόγον τὰ ποιοῦντά ἐστι, εἰ μέλλοι τις ὡς ἓν ἅπαντα ἀκούσεσθαι τάδε, σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης, λέγω δὲ ὡς ἓν τὰ πάντα οἱονεὶ συμπεπλεγμένα καὶ δι' ἀλλήλων ἥκοντα· τοιοῦτος γὰρ ὁ λόγος ὁ Δημοσθενικός. τούτων δὲ τῶν ἰδεῶν . . .* — v. 17. 142. 173. 174.

ἱλαρός: v. 142.

ἰσχνός: **113.** Dion. Hal. Dem. c. 11—13: *ἃ δὲ παρὰ τὸν ἰσχνόν τε καὶ ἀκριβῆ καὶ καθαρὸν καὶ ζηλωτὸν* *** ⟨*ὃς*⟩ *ἀπὸ τοῦ διαλάμψαντος ἐν αὐτῷ Λυσιακὸς δ' ἂν εἰκότως λέγοιτο, τοιαῦτα· κωλύσει δ' οὐθέν, ἴσως δὲ καὶ χαριεστέραν ποιήσει τὴν θεωρίαν τεθεῖσα πρῶτον ἡ Λυσίου λέξις, ᾗ τὴν Δημοσθένους ἐοικέναι πείθομαι, διήγησίν τινα περιέχουσα ὑβριστικήν . . .* (sequuntur exempla ex Demosthenis et Lysiae orationibus sumpta) c. 13: *τίς οὖν ἔστι κἀν τούτοις ἡ διαφορά; . . . φυσική τις ἐπιτρέχει τοῖς Λυσίου λόγοις εὐστομία καὶ χάρις, ὥσπερ ἔφην καὶ πρότερον, ᾗ προῦχει πλὴν Δημοσθένους τῶν ἄλλων ῥητόρων. αὕτη μέντοι, καθάπερ νότιός τις αὔρα, μέχρι προοιμίου καὶ διηγήσεως αὐτὸν ἄγει, ὅταν δ' εἰς τοὺς ἀποδεικτικοὺς ἔλθῃ λόγους, ἀμυδρά τις γίνεται καὶ ἀσθενής, ἐν δὲ δὴ τοῖς παθητικοῖς εἰς τέλος ἀποσβέννυται· τόνος γὰρ οὐ πολὺς αὐτῇ πρόσεστι οὐδ' ἰσχύς. παρὰ δὲ τῷ Δημοσθένει πολὺς μὲν ὁ τόνος, αὐτάρκης δ' ἡ χάρις, ὥστε κἀν ταύτῃ τῷ*

Universitäts- und
Landesbibliothek Düsseldorf

διαρκεῖ καὶ μετρίῳ νικᾶν κἂν ἐκείνῳ τῷ παντὶ προέχειν. τοῦτο παρατήρημα δεύτερον, ᾧ διαγνοίη τις ἂν τὴν Δημοσθένους διάλεκτον, ὅταν εἰς ταῦτα τἀναγκαῖα συνάγηται. οὐ γὰρ ὥσπερ τὴν ἐξαλλαγὴν καὶ περιττολογίαν καὶ πάντας τοὺς ἐπιθέτους ἐκδύεται κόσμους, οὕτως καὶ τὸ μέγεθος καὶ τὸν τόνον, ἀλλ' ἔστιν αὐτῆς ἀναφαίρετος οὗτος εἴτ' ἄρα συγγενής εἴτε ἀσκήσει παρὼν εἰς ῥῆσιν. — v. 119. 132.

ἰσχύς: v. 15. 75. 110. 212.

καθαρός: v. 83. 113. — cf. 191.

καινίζειν: **114.** Marcellinus σχολ. εἰς στάσ. IV, p. 411 *W.*: ὡς ὁ Δημοσθένης εἴωθε ποιεῖν καινίζων ἀεὶ τὸν λόγον τοῖς τῆς ἀπαγγελίας σχήμασιν. — cf. 193 (καινότης ὀνομάτων).

κάλλος: **115.** Syrianum in Hermogenem I, p. 9 *R.*: ὅθεν δὴ καὶ Ἰάμβλιχος ὁ θεῖος ἐν τῷ περὶ κρίσεως ἀρίστου λόγου φησὶ „δεῖ γὰρ μήτε τὸ σύντομον εἶναι ἀσαφὲς μήτε τὸ σαφὲς ἰδιωτικόν, καὶ τὸ μὲν σεμνὸν μὴ εἶναι ἄγαν ἐξηλλαγμένον, τὸ δὲ κοινὸν μὴ εἶναι εὐκαταφρόνητον, ἔχειν δέ τινα ἐξαίρετον ὑπεροχήν· τὸ γὰρ παντελὲς τοῦτο καὶ συμπεπληρωμένον τοῖς ὅλοις κάλλεσι τῶν λόγων παρ' Ὁμήρῳ τε καὶ Πλάτωνι καὶ Δημοσθένει γνώριμόν ἐστιν ἰδεῖν". — v. 73. 112.

κατάγλωσσος: v. 203.

καταπυκνοῦν: **116.** Lucianus Dem. enc. 14: ἐξ ὧν τίς οὐκ οἶδεν, ὁποῖος ὁ Δημοσθένης . . . σοὶ τὴν ῥητορικὴν ἐγένετο ταῖς μὲν ἐννοίαις καὶ τοῖς ὀνόμασι καταπυκνῶν τὸν λόγον, ταῖς δὲ διαθέσεσιν ἐξακριβῶν τὰς πιθανότητας, λαμπρὸς μὲν τῷ μεγέθει, σφοδρὸς δὲ τῷ πνεύματι, σωφρονέστατος δὲ τῶν ὀνομάτων καὶ τῶν νοημάτων τὴν ἐγκράτειαν, ποικιλώτατος δ' ἐναλλαγαῖς σχημάτων. — v. densus.

κατασκευή: v. 128. 144.

κεραννύναι: v. 104. 130.

κεραυνός: v. 22. 51. — cf. fulmina.

κεφάλαιον: v. 8. 15.

κεχυμένος: v. 160.

κοινός: v. 158. 193. 215.

κόσμος: v. 85. 88.

κρότος: **117.** Lucianus Dem. enc. 15: Πυθέᾳ δὲ ὁ κρότος τῶν Δημοσθενικῶν λόγων ἀπόζειν ἐφαίνετο τοῦ νυκτερινοῦ λύχνου. Vocem κρότος a Pythea, ut Demosthenis inanem verborum sonitum vituperet, usurpatum esse, quod Pape (Griech. Wörterb. s. v.) sentit, dum „Wortschall" transferendum esse dicit, mihi persuadere non possum, propterea quod paulo post (§ 32; v. 54) ab eodem Luciano κρότος Δημοσθένους i. e. concinnitas orationis laudatur; immo Pytheam nimiam compositionis diligentiam hoc vocabulo reprehendere puto: a voce κρότος hanc vim non prorsus abhorrere, Eunapius (βίοι σοφ. p. 166) ostendit; cf. quae exposuit de vocibus πολύκροτος et πολύτροπος U. de Wilamowitz-Moellendorf (Sitzber. d. preuß. Akademie 1906.) — v. 54.

κρουστικόν: v. 54.

κῶλα: v. 101. 103. 127. 138. 144. 218.

κωμῳδεῖν: **118.** Hermogenes περὶ μεθ. δειν. 34; II, p. 454 *Sp.*: τούτοις δὲ πᾶσι (sc. ταῖς μεθόδοις τοῦ κωμικῶς λέγειν) χρῆται Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ἔνθεν δηλοῦται, ὅτι κωμῳδεῖν ἐπίσταται.

λαλιά: v. 88. — cf. dicax.

λαμπρός: v. 116.

λεαίνειν: v. 143.

λιγυρός: v. 200.

Universitäts- und
Landesbibliothek Düsseldorf

λιτός: **119.** Dion. Hal. Dem. c. 34: *τῶν δὲ τὴν λιτὴν καὶ ἰσχνὴν καὶ ἀπέριττον ἐπιτηδευόντων φράσιν τῷ τόνῳ τῆς λέξεως ἐδόκει μοι διαλλάττειν καὶ τῷ βάρει καὶ τῇ στριφνότητι καὶ τῷ πικραίνειν, ὡς ἐπὶ τὸ πολύ· ταῦτα γάρ ἐστιν ἐκείνου χαρακτηρικὰ τοῦ πλάσματος παρ' αὐτῷ καὶ τὰ παραπλήσια τούτοις.* — v. 142.

λύσις: v. 65. 100.

λύχνου ἀπόξειν: **120.** Aelianus Var. hist. VII, 7: *ὁ τοίνυν Πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἐπέσκωπτεν εἰς αὐτὸν, ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν.* — **121.** Plut. Dem. c. 8: *Πυθέας ἐπισκώπτων ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα.* Fortasse uterque ex eodem fonte hausit (an e Theophrasto?). — v. 5. 117. 152. 159. — Libanius *ὑποθ. προοίμ.* p. 4 *R.* et schol. saec. XIV ad Dion. Hal. *τέχν. ῥητ.* I, p. 230 idem narrant.

μαλακός: **122.** Philodemus vol. rhet. I, p. 197 Sudh.: *παρὰ δ⟨ὲ τῶ⟩ι Φαληρεῖ λέγεται τὸ ποικίλον μὲν αὐτὸν ὑποκριτὴν γεγονέναι καὶ περιττὸν, οὐχ ἁπλοῦν δὲ οὐδὲ κατὰ τὸν γενναῖον τρόπον, ἀλλ' εἰς τὸ μαλακώ⟨τερο⟩ν καὶ ταπεινότερον ἀποκλε⟨ίνον⟩τα.* — **123.** Plut. Dem. c. 11: *τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς, οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακὸν, ὃν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν.* — v. 127.

μεγαλοπρέπεια: **124.** Dion. Hal. Din. c. 7: *ἐὰν μὲν καὶ ἡ τῆς λέξεως μεγαλοπρέπεια καὶ τῆς συνθέσεως ἐξαλλαγὴ καὶ τὸ τῶν παθῶν ἔμψυχον καὶ τὸ διὰ πάσης κεραίας διῆκον πικρὸν καὶ νοερὸν τό τε πνεῦμα καὶ ἡ δεινότης πᾶσι παρέπηται, μηθὲν ἔτι τὸ κωλῦον ἔστω ⟨ἐν τοῖς⟩ Δημοσθένους αὐτοὺς ἀναγράφειν.* — v. 33. 53. 91. 108. 127. 142.

μέγεθος: **125.** Zosimus Asc. Vit. Dem. p. 297 Westerm. (p. 17, 3 *Di.*): *δευτέρῳ λοιπὸν ἐπιβῆναι τῷ Παιανιεῖ καιρός. καὶ μή μοι χαλεπήνῃς, ὦ θεία κεφαλή, δεύτερος ταττόμενος, ἡδέως ἂν πρὸς αὐτὸν ἐφθεγξάμην. εἰ γὰρ δεῖ τἀληθὲς λέγειν, αὐτὸς σὺ σαυτῷ ταύτην τὴν τάξιν προὐξένησας, μηδαμοῦ τῇ νεότητι τῷ μεγέθει τῶν ῥημάτων ἐπιδιδοὺς σεαυτόν, μηδ' ἀμνήτοις ῥητορικῶν συγχωρῶν ἐπιβῆναι τοῖς σοῖς. διὸ προτελεσθέντες τοῖς τοῦ Θεοδώρου οὕτω τοῖς σοῖς μυστηρίοις ἐπιχειρεῖν τολμῶμεν. προσευξάμενοι οὖν τὸν θεσπέσιον ῥήτορα καὶ κρατῆρα στησάμενοι τἀνδρί, ὅπως ἂν δυνηθείημεν ἀρκέσαι τοῖς αὐτοῦ, οὕτω χωρήσομεν εἰς τὸ τἀκείνου διελθεῖν.* — v. 112. 113. 116. 215.

μέθοδος: **126.** Syrianus schol. in Hermogenem II, p. 52 *R.*: *μιᾷ τῶν τριῶν μεθόδων τῶν τεχνικῶν χρησόμεθα, αἷς ὅ τε Θουκυδίδης κέχρηται καὶ Δημοσθένης παρ' αὐτοῦ μαθών· ἢ γὰρ ἐπὶ τὰ πράγματα ἀνοίσομεν τὴν αἰτίαν ἢ ἐπὶ ⟨τὰ⟩ ἔξωθεν πρόσωπα ἢ — τὸ βιαιότερον — εἰς αὐτὸν τὸν ἀντίδικον.* — v. 15. 25. 94.

μέλος (ἐμμελής): **127.** Dion. Hal. Dem. c. 48: *ταῦτα δὲ καταμαθὼν ὁ Δημοσθένης τά τε μέλη τῶν ὀνομάτων καὶ κώλων καὶ τοὺς χρόνους αὐτῶν ἐπιλογιζόμενος οὕτω συναρμόττειν αὐτὰ ἐπειρᾶτο, ὥστ' ἐμμελῆ καὶ εὔρυθμα, ἐξαλλάττειν τε καὶ ποικίλλειν ἑκάτερον αὐτῶν ἐπειρᾶτο μυρίοις ὅσοις σχήμασι καὶ τρόποις καὶ τοῦ πρέποντος ὅσην οὐδεὶς τῶν περὶ λόγους σπουδαζόντων ἐποιεῖτο δόσιν. ἐνθυμηθεὶς δέ, ὥσπερ ἔφην, ὡς διὰ τῶν αὐτῶν τούτων θεωρημάτων ὅ τε ἡδὺς γίνεται λόγος καὶ ὁ καλός, ἐσκόπει πάλιν, τί ποτε ἦν τὸ αἴτιον, ὅτι τὰ αὐτὰ οὐ τῶν αὐτῶν ἦν ποιητικά, εὕρισκε δὴ τῶν τε μελῶν οὔσας διαφοράς, οἳ ποιοῦσιν ἃ μὲν ἀξιωματικὰ φαίνεσθαι αὐτῶν, ἃ δὲ γλαφυρὰ . . . κἂν τοῖς ῥυθμοῖς δὲ τὸ παραπλήσιον γινόμενον, ὥστε τοὺς μὲν ἀξιωματικοὺς αὐτῶν φαίνεσθαι καὶ μεγαλοπρεπεῖς, τοὺς δὲ τρυφεροὺς καὶ μαλακούς. ἔν τε ταῖς μεταβολαῖς τοτὲ μὲν τὸ ἀρχαιοπρεπὲς καὶ αὐστηρόν, τοτὲ δὲ τὸ μελιχρὸν καὶ*

Universitäts- und
Landesbibliothek Düsseldorf

φιλόκαινον ἐμφαινόμενον· τό τε δὴ πρέπον ἁπάντων μάλιστα μεγάλην παρέχον εἰς ἑκάτερον αὐτῶν ῥοπήν· συνιδὼν δὴ ταῦτα, ὁπότε μὲν τοῦ καλοῦ πλείονος δεῖν αὐτῷ τῇ κατασκευῇ ὑπολάβοι, τάς τε ἐμμελείας ἐποίει μεγαλοπρεπεῖς καὶ τοὺς ῥυθμοὺς ἀξιωματικοὺς καὶ τὰς μεταβολὰς γενναίας. ὁπότε δὲ τῆς ἑτέρας αὐτῷ φανείη δεῖσθαι συνθέσεως ἡ λέξις, πάντα ταῦτα κατεβίβαζεν ἐπὶ τὸ μουσικώτερον. — v. 172. 218. 219.

μέσος: **128.** Dion. Hal. Dem. c. 14—33: *ὥστε περὶ μὲν τοῦ χαρακτῆρος *** τοῦ δὲ ῥητορικοῦ γένους τοῦ μεταξὺ τῶν ἄκρων ἑκατέρων, ὃ ἀτελὲς παραλαβὼν ὁ Δημοσθένης παρ' Ἰσοκράτους τε καὶ ἔτι προτέρου Θρασυμάχου καὶ τελευταίου Πλάτωνος ἐτελείωσεν, ὅσον ἦν ἀνθρωπίνῃ φύσει δυνατόν, πολλὰ μὲν ἄν τις ἐκ τῶν κατὰ Φιλίππου δημηγοριῶν, πολλὰ δ' ἐκ τῶν ⟨ἄλλων⟩ δημοσίων λόγων παραδείγματα λάβοι, πλεῖστα δὲ καὶ κάλλιστα ἐκ τῆς ὑπὲρ Κτησιφῶντος ἀπολογίας· οὗτος γὰρ δή μοι δοκεῖ καλλίστῃ καὶ μετριωτάτῃ κατασκευῇ λέξεως κεχρῆσθαι ὁ λόγος.* c. 15—32 sequuntur exempla elocutionis mediae Demosthenis, Isocratis, Platonis quibus adlatis optimam esse dictionem Demosthenis Dionysius ostendit. c. 33: *ἡ πρόθεσις ἦν μοι καὶ τὸ ἐπάγγελμα τοῦ λόγου κρατίστῃ λέξει καὶ πρὸς ἅπασαν ἀνθρώπου φύσιν ἡρμοσμένῃ μετριώτατα Δημοσθένη κεχρημένον ἐπιδεῖξαι.* — **129.** Dion. Hal. Dem. c. 34: *τῶν δὲ τὴν μέσην διάλεκτον ἠσκηκότων, ἣν δὲ κρατίστην ἀποφαίνομαι, κατὰ ταυτὶ διαφέρειν αὐτὸν ὑπελάμβανον· κατὰ τὴν ποικιλίαν, κατὰ τὴν συμμετρίαν, κατὰ τὴν εὐκαιρίαν, ἔτι πρὸς τούτοις κατὰ τὸ παθητικόν τε καὶ ἐναγώνιον καὶ δραστήριον καὶ τελευταῖον τὸ πρέπον, ὃ τῶν ἄστρων ψαύει παρὰ Δημοσθένει.* — **130.** Dion. Hal. De comp. verb. c. 24: *τῶν δ' ἄλλων ὅσοι τὴν αὐτὴν μεσότητα ἐπετήδευσαν, ὕστεροι μὲν Ὁμήρου μακρῷ παρ' ἐκεῖνον ἐξεταζόμενοι φαίνοιντ' ἄν, καθ' ἑαυτοὺς δέ, εἰ θεωροίη τις αὐτοὺς ἀξιοθέατοι . . . ῥητόρων δὲ Δημοσθένης . . . τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς λόγους.* — **131.** [Plutarchus] De vita et poesi Hom. c. 72: *ἐπεὶ δὲ καὶ χαρακτῆρές εἰσιν τῶν λόγων τὰ καλούμενα πλάσματα, ὧν τὸ μὲν ἁδρόν, τὸ δ' ἰσχνόν, τὸ δὲ μέσον λέγεται. ὧν καὶ ἔστι παραδείγματα, Θουκυδίδου μὲν τὸ ἁδρόν, Λυσίου δὲ τὸ ἰσχνόν, Δημοσθένους δὲ τὸ μέσον.* — **132.** Anonymus *Προλεγ. τῶν στάσ.* VII, p. 26 *W.*: *Θουκυδίδης μὲν τὸν αὐστηρὸν ἐπετήδευσε χαρακτῆρα καὶ Ἀντιφῶν ὁ ῥήτωρ ὁ τούτου διδάσκαλος· τὸν δὲ μέσον Δημοσθένης, Ὑπερίδης, Δείναρχος, Λυκοῦργος· τὸν δὲ ἰσχνὸν Αἰσχίνης, Ἰσοκράτης, Λυσίας, Ἀνδοκίδης, Ἰσαῖος.* — v. 144.

μεταβολή: **133.** Dion. Hal. De comp. verb. c. 19: *ὅτι γὰρ ἥδιστόν τε καὶ κάλλιστον ἐν λόγοις μεταβολή, πάντας εἰδέναι πείθομαι. παράδειγμα δὲ αὐτῆς ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους· ἀμήχανον γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι καὶ ποικιλίαις εὐκαιροτέραις καὶ σχήμασι πολυειδεστέροις χρησαμένους· λέγω δὲ τὸν μὲν ὡς ἐν ἱστορίας σχήματι, τὸν δ' ὡς ἐν διαλόγων χάριτι, τὸν δ' ὡς ἐν λόγων ἐναγωνίων χρείᾳ.* — v. 69. 127. 199.

μεταχείρισις: v. 58.

μέτριος: **134.** Dion. Hal. Dem. c. 44: *ἐπειδὴ κρατίστην μὲν ἔφην εἶναι τὴν μικτὴν σύνθεσιν, ταύτῃ δὲ κεχρῆσθαί φημι τὸν Δημοσθένην ἁπάντων μετριώτατα τῶν ἄλλων.* — v. 128.

(Reliqua dissertationis pars in programmate proximi anni in lucem edetur.)

Universitäts- und
Landesbibliothek Düsseldorf